*τῆς πατρίδος ἔχειν, καὶ μὴ φεύγειν αὐτὴν ἐγκαταλιπόντας, μηδὲ καταισχύνειν πρὸς ἅπαντας τοὺς Ἕλληνας, ὥσπερ Λεωκράτης.*

*Βούλομαι δ' ὑμῖν καὶ τῶν Ὁμήρου παρασχέσθαι ἐπῶν.* **26** 102
*οὕτω γὰρ ὑπέλαβον ὑμῶν οἱ πατέρες σπουδαῖον εἶναι ποιη-*
*τήν, ὥστε νόμον ἔθεντο καθ' ἑκάστην πεντετηρίδα τῶν*
*Παναθηναίων μόνου τῶν ἄλλων ποιητῶν ῥαψῳδεῖσθαι τὰ*
*ἔπη, ἐπίδειξιν ποιούμενοι πρὸς τοὺς Ἕλληνας, ὅτι τὰ κάλ-*
*λιστα τῶν ἔργων προῃροῦντο. εἰκότως· οἱ μὲν γὰρ νόμοι*
*διὰ τὴν συντομίαν οὐ διδάσκουσιν, ἀλλ' ἐπιτάττουσιν ἃ*
*δεῖ ποιεῖν, οἱ δὲ ποιηταὶ μιμούμενοι τὸν ἀνθρώπινον βίον,*
*τὰ κάλλιστα τῶν ἔργων | ἐκλεξάμενοι, μετὰ λόγου καὶ* p. 162
*ἀποδείξεως τοὺς ἀνθρώπους συμπείθουσιν. Ἕκτωρ γὰρ* 103
*τοῖς Τρωσὶ παρακελευόμενος ὑπὲρ τῆς πατρίδος τάδ'*
*εἴρηκεν·*

*ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶ διαμπερές. ὃς δέ κεν ὕμεων*
*βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ,*
*τεθνάτω. οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης*
*τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ νήπια τέκνα,*
*καὶ κλῆρος καὶ οἶκος ἀκήρατος, εἴ κεν Ἀχαιοί*
*οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.*

*Τούτων τῶν ἐπῶν ἀκούοντες ὦ ἄνδρες οἱ πρόγονοι ὑμῶν,* **27** 104
*καὶ τὰ τοιαῦτα τῶν ἔργων ζηλοῦντες, οὕτως ἔσχον πρὸς*
*ἀρετήν, ὥστ' οὐ μόνον ὑπὲρ τῆς αὑτῶν πατρίδος, ἀλλὰ*
*καὶ πάσης ⟨τῆς⟩ Ἑλλάδος ὡς κοινῆς ⟨πατρίδος⟩ ἤθελον*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id404556388/77 UNIVERSITÄT LEIPZIG